PVIS

1604

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0001-6

EX LIBRIS
ILLVSTRISSIMI VIRI,
DN. DAN. LVDOLPHI,
LIB. BAR. de DANCKELMANN,
S. REG. MAI. BORVSS. CONSILIARII
STATVS INTIMI, cetera,
BIBLIOTHECÆ ACAD. FRIDERICIANÆ
TESTAMENTO RELICTIS.

Nr. 12

11. b. 111

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0002-1

f. 6
5

# ATHANASII DIALOGORVM SECVNDVS

# De Trinitate.

*PRO ILLVSTRI Gymnasio Serbestano.*

SERBESTÆ,
Excudebat Iohannes Schleer,
Anno M. DC. IIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0003-7

## *Erasmus Roterodamus in præfatione Tomi I. Augustini.*

SVNT ALIIS ALIAE DOtes, pro ut visum est τῷ δωροδότῃ Spiritui, qui pro suo arbitratu partitur singulis juxta mensuram fidei. In ATHANASIO suspicimus seriam ac sedulam docendi perspicuitatem. In Basilio præter subtilitatem, exosculamur piam ac mitem suaviloquentiam. In huius sodali Chrysostomo sponte profluentem Orationis copiam amplectimur. In Cypriano Spiritum veneramur martyrio dignum. In Hilario grandi materiæ parem grandiloquentiam, atq; ut ita loquar, cothurnum admiramur. In Ambrosio dulces quosdam aculeos & Episcopo dignam amamus verecundiam. In Hieronymo divitem scripturarum penum optimo jure laudamus. In Gregorio puram nulloq; fuco picturatam sanctimoniam agnoscimus. Ac ne longum faciam, habet itidem & cæterorum quisq; ex ejusdem Spiritus munificentia virtutes suas, quibus sese piorum hominum affectibus variè commendant. At non arbitror, alium esse Doctorem, in quem opulentus ille juxta ac benignus Spiritus dotes suas omnes largiùs effuderit, quàm in Augustinum, &c.

# ΑΘΑΝΑΣΙΟΥ
## ΔΙΑΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ ΠΕΡΙ τῆς ἁγίας Τριάδος, ἐν ᾧ διαλέγονται ὁμοίως Ὀρθόδοξος καὶ Ἀνόμοιος Ἀρειανιστής.

### ΑΝΟΜΟΙΟΣ.

Πᾶσι τοῖς νοῦν ἔχουσιν ὁμολογούμενόν ἐστιν, ὅτι τὸ ἔκ τινος ὄν, μεταγενέστερόν ἐστι τοῦ ἐξ οὗ ἐστιν, ὡς ἐξ αἰτίου. ΟΡΘ. Οὐ πάντως. ΑΝ. Σὺ οὐκ εἶ ἐκ τοῦ πατρός σου, καὶ μετὰ τὸν πατέρα σου; ΟΡΘ. Ἐγὼ μὲν ἐκ τοῦ πατρός μου εἰμί, καὶ μετὰ τὸν πατέρα μου εἰμί, καὶ ἐκτὸς τοῦ πατρός μου εἰμί· τὸ δὲ φῶς ἐκ τοῦ ἡλίου ἐστί, καὶ οὐδὲ μετὰ τὸν ἥλιον ἐστίν, οὐδὲ ἐκτὸς τοῦ ἡλίου ἐστίν, ἀλλὰ μετὰ τοῦ ἡλίου καὶ ἐν τῷ ἡλίῳ, καὶ σὺν τῷ ἡλίῳ. καὶ ἡ εὐωδία ἐκ τοῦ μύρου, καὶ οὔτε μετὰ τὸ μύρον, οὔτε ἐκτὸς τοῦ μύρου, ἀλλὰ μετὰ τοῦ μύρου, καὶ ἐν τῷ μύρῳ, καὶ σὺν τῷ μύρῳ. καὶ τὸ νοεῖν ἐκ τοῦ νοῦ ἐστιν, καὶ οὔτε μετὰ τὸν νοῦν, οὔτε ἐκτὸς τοῦ νοῦ, ἀλλὰ μετὰ τοῦ νοῦ, καὶ ἐν τῷ νῷ, καὶ σὺν τῷ νῷ· καὶ τὸ θέλειν ἐκ τοῦ θέλοντος ἐστίν, καὶ οὔτε ἐκτὸς τοῦ θέλοντος, οὔτε μετὰ τὸν



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0005-8

θέλοντι, ἀλλὰ μετὰ τοῦ θέλοντος, καὶ ἐν τῷ θέλοντι, καὶ σὺν τῷ θέλοντι· καὶ ἡ σοφία ἐκ τοῦ σοφοῦ ἐστι, καὶ οὔτε μετὰ τὸν σοφόν. οὔτε ἐκτὸς τοῦ σοφοῦ, ἀλλὰ μετὰ τοῦ σοφοῦ, καὶ ἐν τῷ σοφῷ, καὶ σὺν τῷ σοφῷ· καὶ ἡ δύναμις ἐκ τοῦ δυνατοῦ, καὶ οὔτε μετὰ τὸν δυνατόν, οὔτε ἐκτὸς τοῦ δυνατοῦ, ἀλλ᾽ ἐν τῷ δυνατῷ, καὶ μετὰ τοῦ δυνατοῦ, καὶ σὺν τῷ δυνατῷ. οὕτω πάντως καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ἐκ τοῦ Θεοῦ νοοῦμεν, καὶ οὐ μετὰ τὸν Θεόν, οὔτε ἐκτὸς τοῦ Θεοῦ, ἀλλὰ μετὰ τοῦ Θεοῦ, καὶ ἐν τῷ Θεῷ, καὶ σὺν τῷ Θεῷ. Αν. Ἀλλὰ τὸ ἀπαύγασμα, καὶ τὸ νοεῖν, καὶ τὸ θέλειν, καὶ ἡ σοφία, καὶ ἡ δύναμις, οὐκ ἔστιν οὐσία ἐνυπόστατος· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ οὐσία ἐστὶν, ἐν ἰδίᾳ ὑποστάσει. Ορθ. Καὶ ἐν τούτῳ τῶν σωματικῶν υἱῶν τὸ ἀσύγκριτον ἔχει, ὅτι ἐγὼ μὲν υἱὸς ὢν τοῦ πατρός μου, οὐκ εἰμὶ αὐτοῦ σοφία, οὐκ εἰμὶ αὐτοῦ δύναμις, οὐκ εἰμὶ αὐτοῦ θέλημα, οὐκ εἰμὶ αὐτοῦ ἀπαύγασμα, οὐκ εἰμὶ ἐν αὐτῷ τῷ πατρί μου, οὐκ αὐτὸς ὁ πατήρ μου ἐν ἐμοὶ, οὐ καθὼς ὁ πατήρ μου ἐργάζεται, ἐγὼ ἐργάζομαι· ὁ δὲ τοῦ Θεοῦ Υἱὸς, οὐ μόνον ἐστὶν Υἱὸς, ἀλλὰ δὲ δύναμις καὶ σοφία, καὶ λόγος, καὶ θέλημα, καὶ ἀπαύγασμα· ἵνα ἀπὸ τοῦ εἶναι Υἱὸς, τὸ ἐνυπόστατον νοηθῇ· καὶ ἀπὸ τοῦ εἶναι σοφία, καὶ δύναμις, καὶ λόγος,

λόγος, καὶ θέλημα, καὶ ἀπαύγασμα, τὸ μετὰ τοῦ Πατρὸς, καὶ ἐν τῷ πατρὶ, καὶ σὺν τῷ πατρὶ νοηθῇ, καὶ οὐδέποτε, οὐδὲ μετὰ τὸν πατέρα, οὐδὲ ἐκτὸς τοῦ πατρὸς· διὰ γὰρ τοῦτο βοᾷ ὁ προφήτης λέγων, Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε, ὁ Θεὸς ἡμῶν, ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν. οὐ γὰρ ἐκτὸς τοῦ Πατρὸς Υἱὸς γνωρίζεται, ἀλλ' ἐν τῷ Πατρὶ, καὶ σὺν τῷ πατρὶ, καὶ ἅμα τῷ πατρὶ, ὡς ἀπαύγασμα δόξης, ὡς χαρακτὴρ ὑποστάσεως, ὡς σοφία σοφοῦ, ὡς δύναμις δυνατοῦ, ὡς λόγος νοῦ. Αν. Ἀλλὰ τὸ ἀπαύγασμα τοῦ φωτὸς, υἱὸς οὐκ ἔστιν· χαρακτὴρ τῆς ὑποστάσεως, υἱὸς οὐκ ἔστιν· ἡ σοφία τοῦ σοφοῦ, υἱὸς οὐκ ἔστιν· ἡ δύναμις τοῦ δυνατοῦ, υἱὸς οὐκ ἔστιν. Ορθ. Τοῦ μὲν δυνατοῦ ἡ δύναμις, οὐκ ἔστιν αὐτοῦ υἱὸς, καὶ ἡ σοφία τοῦ σοφοῦ, οὐκ ἔστιν αὐτοῦ υἱὸς, καὶ ὁ λόγος τοῦ νοῦ, οὐκ ἔστιν αὐτοῦ υἱὸς, καὶ τὸ ἀπαύγασμα τῆς δόξης, οὐκ ἔστιν αὐτῆς υἱὸς· ὁ δὲ τοῦ Θεοῦ Υἱὸς, καὶ Υἱός ἐστι τοῦ Θεοῦ καὶ λόγος αὐτοῦ, καὶ Υἱός ἐστι τοῦ σοφοῦ καὶ σοφία αὐτοῦ, καὶ Υἱός ἐστι τοῦ δυνατοῦ, καὶ δύναμις αὐτοῦ ἐστι. καὶ διὰ τοῦτο Υἱὸν ἀκούοντες, τὸ ἐνυπόστατον νοοῦμεν· καὶ δύναμιν ἀκούοντες καὶ λόγον καὶ σοφίαν, τὸ ἀχώριστον καὶ

συναΐδιον ἐπαιδεύθημεν. Αν. Ἅμα οὖν λέγεις ὑπάρχειν πατέρα καὶ Υἱόν; Ορθ. Ἅμα λέγω. Αν. Δύο οὖν ἀγεννήτους λέγεις; Ὀρθ. Ἐγὼ πατέρα καὶ Υἱὸν λέγω· τί δέ ἐστιν ἀγέννητον, οὐκ ἐδιδάχθην ἀπὸ τῶν θείων γραφῶν. Αν. Οὐκ ἔστιν οὖν ὁμολογούμενον ὅτι ὁ πατὴρ τοῦ Χριστοῦ, οὐκ ἔστι γεννητός; Ορθ. Ὡμολόγηται καὶ παρ' ἐμοῦ. Αν. Ὃ δὲ μὴ γεγονὼς καὶ ὑπάρχων, ἀγεννήτως ὑπάρχει, ἀγέννητος ἄρα. Ορθ. Ὅτι μὲν οὐκ ἐγένετο, οἶδα· ἀγέννητον δὲ αὐτὸν λέγειν, οὐκ ἐδιδάχθην ὑπὸ τῆς θείας γραφῆς, ἀλλὰ πατέρα. Αν. Εἰ οὐκ ἐγένετο ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἀγεννήτως ὑπάρχει· ὁ δὲ ἀγεννήτως ὑπάρχων, ἀγέννητός ἐστιν. Ὀρθ. Ἀλλ' οὐκ εἶπεν ἡ γραφὴ τὸ ἀγέννητον, τὸ δὲ πατέρα αὐτὸν εἶναι εἶπεν. κἀκεῖνο λέγω ὃ ἡ γραφὴ εἶπεν, καὶ οὐχὶ ὃ τῇ ἐννοίᾳ τῶν ἀνθρώπων ὑποπίπτει. καὶ γὰρ ἄλλα πολλά ἐστιν ἃ ταῖς ἐννοίαις ἡμῶν ὑποπίπτει, καὶ ὡς ἀπρεπῆ λέγειν αὐτὰ περὶ θεοῦ παραιτούμεθα, ἐπειδὴ οὐδὲ ἡ γραφὴ εἶπεν. Αν. Οἷον; ὥς τί εἰπέ. Ὀρθ. Ὅτι ἡμεῖς εὐχόμεθα προκόπτειν ἐπί τι βέλτιον, δῆλόν ἐστι· ὁ δὲ Θεὸς οὐ προκόπτει· οὐδὲν γὰρ αὐτῷ λείπει. Αν. Οὐδὲν αὐτῷ λείπει.

Ὀρθ.

Ὀρθ. Οὐ χρείαν οὖν ἔχει τὸ προκόπτειν. Ἀν.
Οὐ χρείαν ἔχει. Ὀρθ. Οὐδεὶς ἡμῶν διὰ τὸ
μὴ προκόπτειν αὐτὸν, ἀπρόκοπτον λέγει αὐτὸν,
ἀλλ᾽ ὡς ἀναξίαν τοῦ Θεοῦ τὴν φωνὴν παραι-
τούμεθα. οὕτως οὐδὲ τὸ ἀγέννητον ἄξιον εἶναι τοῦ
Θεοῦ λεγόμενον. εἰ γὰρ ἦν ἄξιον, εἶπεν ἂν αὐ-
τὸ ἡ θεία γραφή. Ἀν. Ἐγένετο οὖν ὁ Θεός;
εἰπὲ καὶ ὑπὸ τίνος ἐγένετο; Ὀρθ. Εἰ διὰ τοῦ-
το ἀγέννητον αὐτὸν δεῖ λέγειν, ἐπειδὴ ὑπ᾽ οὐδενὸς
ἐγένετο, εἰπὲ αὐτὸν καὶ ἄπιστον ἐπειδὴ εἰς οὐδέ-
να πιστεύει· εἰπὲ καὶ ἀσεβῆ ἐπειδὴ οὐδένα σέ-
βεται. εἰ γὰρ πάντα ἡ μὲν ἔννοια ὑποβάλλει, ἡ
δὲ εὐσέβεια οὐκ ἐπιτρέπει λέγειν· οὕτω καὶ τὸ
ἀγέννητον κἂν δοκῇ ταῖς ἐννοίαις ἡμῶν ὑποπί-
πτειν, ἀλλ᾽ ἡ εὐσέβεια οὐκ ἐπιτρέπει λέγειν.
εἰ γὰρ μὴ, εἶπεν αὐτὸ πάντως ἡ γραφή. Ἀν.
Οὐ λέγεις οὖν ἀγέννητον τὸν ἐπὶ πάντων Θεόν;
Ὀρθ. Εἰ γέγραπται, λέγω. εἰ δὲ οὐ γέγρα-
πται, οὐκ ἔχω ἀνάγκην εἰπεῖν. καὶ ὅτι οὐ πάν-
τως τὰ ταῖς ἐννοίαις ἡμῶν ὑποπίπτοντα δεῖ λέ-
γειν, ἔξεστι καὶ ἄλλως γνῶναι. παρὰ πάντων
ἡμῶν ὡμολόγηται, ὅτι ὁ Θεὸς ἀόρατός ἐστιν, τοῦ
ἁγίου Παύλου λέγοντος, Ἀφθάρ-
τῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ. ὁ
δὲ ἄφθαρτος οὐχ ἑαυτὸν μὲν φθαρ-

τός ἐστιν, ἄλλοις γὰρ ἄφθαρτος, ἀλλὰ καὶ πᾶσι καὶ ἑαυτῷ ἄφθαρτός ἐστιν. Αν. Καὶ πάνυ. Ορθ. Οὐκοῦν ἐπειδὴ συνήθειαι τῷ ἀφθάρτῳ τὸ ἀόρατον, εἴπωμεν καὶ ἀόρατον ἑαυτῷ ἀόρατον εἶναι τὸν Θεόν. καὶ ἐψεύσαντο τὰ εὐαγγέλια καθ᾽ ἡμᾶς, λέγοντα, Ὁ ὢν παρὰ τοῦ πατρὸς, αὐτὸς ἑώρακε τὸν πατέρα. εἰ γὰρ ὁ ὢν παρὰ τοῦ πατρὸς, ὁρᾷ τὸν πατέρα, καὶ ὁ πατὴρ αὐτὸς ἑαυτὸν ὁρᾷ, ὅ ἐστι, καὶ λέγεται, καὶ πιστεύεται εἶναι ἀόρατος, οὐχ ἑαυτῷ, οὐδὲ τῷ ἐξ αὐτοῦ Υἱῷ, οὐδὲ τῷ παρ᾽ αὐτοῦ ἁγίῳ Πνεύματι, ἀλλὰ πάσῃ τῇ κτίσει. Αν. Νῦν μανθάνω, ὅτι ὃ πᾶσιν ἀνθρώποις ἐστὶν ὡμολογημένον, τοῦτο ὑμεῖς οὐ πιστεύετε. Ορθ. Ποῖον; Αν. Ὅτι ἀγέννητός ἐστιν ὁ Θεός, πάντες ἄνθρωποι οἱ νοῦν ὀρθὸν ἔχοντες ὁμολογοῦσιν, ὑμεῖς γὰρ οὐ δέχεσθε. Ορθ. Οὐ λέγω, ὅτι τὸ ἀγέννητον αὐτὸν ὁμολογεῖν, ἀπαράδεκτόν ἐστιν ἡμῖν· ἀλλ᾽ ὅτι κἂν δοκῇ ταῖς ἐννοίαις ἡμῶν ὑποπίπτειν, ἀλλ᾽ ὅμως ὡς οὐδαμοῦ τῆς θείας γραφῆς κειμένην τὴν φωνὴν οὐκ ἀναγκαῖον λέγειν. εἰ γὰρ ἦν ἀναγκαῖον, εἶπεν ἂν αὐτὸ ἡ θεία γραφή. Αν. Γεννητὸν οὖν εἴπωμεν αὐτόν; Ορθ. Ὁ λέγων αὐτὸν γεννητὸν, ἀσεβεῖ. εἶπεν γὰρ ἡμῖν ἡ γραφὴ τίνα ἐστὶ τὰ γεννητὰ, καὶ τίς ὁ τούτων

τοῦ γεννεσιουργός. ὁ δὲ λέγων αὐτὸν ἀγέννητον, ὃ οὐκ εἶπεν ἡ γραφὴ, περιττολογεῖ. Αν. Εἰ οὐκ ἔστι γεννητὸς, ἀγέννητός ἐστιν. Ορθ. Κἂν ἀνθρωπίνη διάνοια τοῦτο νοεῖν ποιεῖ, ἀλλ᾽ οὐχ οὕτως ἡ θεία γραφὴ ἐδίδαξεν. ἀλλ᾽ ἀκούεις αὐτῆς λεγούσης, Καὶ καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, τοσοῦτον ἀπέχουσι τὰ διανοήματα ὑμῶν ἀπὸ τῶν διανοημάτων μου. εἰ δὲ νομίζει Εὐνόμιος εὑρηκέναι, τὸ τί ἐστιν ὁ Θεὸς, ἐκ τοῦ μὴ εἶναι αὐτὸν γεννητὸν, μηδὲ ἔχειν γεννεσιουργὸν, λεγέτω αὐτὸν καὶ ἄθεον, ἐπειδὴ Θεὸν οὐκ ἔχει. ἀλλ᾽ εἰ οὐ δεῖ λέγειν τοῦτο, κἂν ὑποπίπτῃ ταῖς ἐννοίαις ἡμῶν· μηδὲ τὸ ἀγέννητον λεγέσθω, κἂν ὑποπίπτῃ ταῖς ἐννοίαις ἡμῶν. Αν. Ἐγένετο οὖν ὁ Θεός; Ορθ. Οὐκ ἐγένετο. Αν. Ἀγέννητος οὖν ἐστιν. Ορθ. Ἔχει Θεὸν ὁ Θεός; Αν. Ὁ ἀγέννητος, οὔ. Ορθ. Ἄθεος οὖν ἐστι. καὶ ὁρῶν πῶς μειρακιώδη καὶ ἀνδραποδώδη εἰσὶν ὑμῶν τὰ διανοήματα; διὸ μᾶλλον ἀκολουθοῦντες τῇ θείᾳ γραφῇ, εἴπωμεν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον πνεῦμα, Θεόν· καὶ οὐ φοβούμεθα περὶ τὴν πίστιν ναυαγῆσαι. τὸ γὰρ ἀγέννητον εὕρεσίς ἐστιν ἀεροπετομένου, ζητοῦντος Βορρᾶν, οὗ ἴχνος ἐρηρεισμένον οὐχ εὑρίσκεται. οὐ γὰρ ἔχει ἐν τῇ γραφῇ ποῦ στῆσαι τοὺς

πόδας. Ἀν. Λαβὲ, ἀνάγνωθι τὴν ἐπιστολὴν Ἀετίου, καὶ εἰπὲ πρὸς αὐτήν. Ὀρθ. Αὐτὸς ἀνάγνωθι. Ἀν. Εἰσὶ μετ' αὐτῆς καὶ σχόλια Εὐνομίου. Ὀρθ. Καὶ αὐτὰ ἀνάγνωθι.

Σχόλια Εὐνομίου, καὶ πρὸς αὐτὰ. Ὀρθοδόξου.

De Volvntate in Deo.

Ὅτι ἡ θέλησις καὶ ἡ βούλησις, οὐ ταὐτὸν τῇ οὐσίᾳ τοῦ Θεοῦ. ἡ μὲν γὰρ θέλησις καὶ ἄρχεται καὶ παύεται· ἡ δὲ οὐσία οὔτε ἄρχεται οὔτε παύεται. τὸ δὲ ἀρχόμενον καὶ παυόμενον τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ τὸ αὐτὸ εἶναι οὐ δύναται. καὶ ἄλλως, Εἰ ταὐτὸν ἦν τῇ οὐσίᾳ τοῦ Θεοῦ ἡ βούλησις, ἐχρῆν μιᾶς οὔσης τῆς οὐσίας μίαν εἶναι καὶ τὴν θέλησιν. εὑρίσκονται δὲ κατὰ τὴν διδασκαλίαν τῶν θείων γραφῶν, οὐ μία θέλησις, ἀλλὰ πολλαὶ θελήσεις· τῆς γραφῆς λεγούσης, Πάντα ὅσα ἠθέλησεν, ἐποίησεν· (Psalm. 115:3.) πολλὰ οὖν ἠθέλησεν καὶ οὐχ ἕν. ἐνεργέστερον δὲ ἰδεῖν ἐπὶ τῆς κοσμοποιίας. ἠθέλησεν γὰρ εἶναι τὸν κόσμον, καὶ ὑπέστη κατὰ τὴν αὐτοῦ θέλησιν, καὶ διαμένει τὸ γενόμενον. ἄλλο δέ ἐστιν ἡ διαμονὴ παρὰ τὴν θέλησιν τῆς δημιουργίας. ἐπηγγέλατο δὲ καὶ μετασχηματίσαι τὸν κόσμον. θελήσας (Psalm. 102:27.)

τὸν ἀέρα μετασχηματίζει. οὐ μόνον δὲ πολλαί,
ἀλλὰ καὶ διάφοροι αἱ θελήσεις. ἠθέλησεν γὰρ καὶ
οὐρανόν, ἠθέλησεν καὶ ἥλιον, ἠθέλησεν καὶ γῆν.
τῶν δὲ θελημάτων διαφόρων ὄντων, ἀνάγκη
διαφέρειν καὶ τὰς περὶ αὐτῶν θελήσεις. καὶ
ἐπὶ τῶν νοητῶν ὡσαύτως. Ορθ. Εἰ
τοίνυν καὶ κατά σε οὐ ταὐτόν ἐστι τῇ οὐσίᾳ ἡ
βούλησις, ἤγουν ἡ θέλησις, πάντα δὲ τὰ
γεγονότα τοῦ θελήματος αὐτοῦ εἰσὶν ἔργα,
ὁμολόγει τὸν Υἱὸν ἐκ τῆς οὐσίας. οὕτω γὰρ αὐτὸν καὶ
μονογενῆ ὁμολογήσεις τὸν μόνον ἐκ τῆς οὐσίας γε- Joh. 1:14. 18.
γεννηθέντα. εἰ γὰρ καὶ αὐτὸς βουλήσεως καὶ θελήσεώς 3:16. et
ἐστὶν Υἱός, οὐκ ἔστι μονογενής, πολλῶν ὄντων τῶν 1 Joh. 4:9.
κατὰ βούλησιν ἀποκυηθέντων. γέγραπται γάρ,
βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀλη-
θείας. πολλαὶ δὲ θελήσεις οὐκ εἰσὶν ὡς ἐνό-
μισας. οὐ γὰρ ἐπειδὴ διάφορα τὰ δημιουργή-
ματα, πάντως διάφοροι καὶ αἱ θελήσεις· ἀλλ'
ὥσπερ ἑνὶ θελήματι ποιήσας τὸν ἄνθρωπον ἐκ
διαφόρων μελῶν καὶ μερῶν πεποίηκεν ὀφθαλ-
μούς, ὦτα, ῥῖνας, τρίχας, ἔντερα, καὶ διαφόρως
τὴν τῶν ἐντέρων σύνθεσιν, σπλῆνα, ἧπαρ, νεφρούς,
καὶ ὅσα ἐν ἡμῖν· οὕτω καὶ πάντα τὸν κόσμον ἑνὶ θε-
λήματι δημιουργεῖ. Αρ. Εἰ μείζων ὁ πατὴρ τοῦ Υἱοῦ Quomodo Pater
καὶ εἰ μείζων κατά τι μείζων, πότερον μείζων ὄγ- maior sit filio, et
qd sit τὸ ἀγέννητον.
κῳ σώμα-

σώματος, ἢ κατὰ τὴν φύσιν τῆς ἀγεννησίας;
καὶ πότερον τὸ ἀγέννητον οὐσία ἐστὶν, ἢ οὐδέν ἐστι;
Joh. 14:28. Ορθ. Μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ γέγραπται, οὔτε
δὲ ὄγκῳ, οὔτε χρόνῳ, οὔτε φύσει, ἀλλ' ὡς Πα-
τὴρ Υἱοῦ ἐνανθρωπήσαντος. διὰ δὲ τὴν ἐναν-
θρώπησιν καὶ τῶν ἀγγέλων ἠλαττῶσθαι αὐτὸν λέ-
Heb. 2:7.8.9. γει ὁ Ἀπόστολος, γράφων, Τὸν δὲ βραχύ τι
Phil. 2:8. παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν
διὰ τὸ πάθημα τοῦ θανάτου. διὰ δὲ ταύτην
τὴν ἐνανθρώπησιν καὶ τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ
Luc. 2:22. ὑπετάσσετο. ἦν γὰρ ὑποτασσόμενος αὐ-
τοῖς, ὡς ἐν Εὐαγγελίῳ γέγραπται. Αν. Ἀλ-
λὰ φύσει μείζων κατὰ τὸ ἀγέννητον, ἐστίν τι, ἢ οὐ-
δέν ἐστι, καθὼς προείπομεν; Ορθ. Οὐδέν
ἐστι φύσει· οὐ γὰρ οὐσία ἐστί. εἰ τοίνυν κατὰ τὸ ἀ-
γέννητον ἐστὶ μείζων, τὸ δὲ ἀγέννητον οὐδέν ἐστι, κατ'
οὐδέν ἐστι μείζων. ὁ δὲ ἐν μηδενὶ μείζων, κατὰ πάν-
τα ἴσος. οὐ γὰρ δὴ ὁ Πατὴρ ἐλάττων τοῦ Υἱοῦ.
Αν. Οὐκοῦν ἴσον λέγεις τὸ ἀγέννητον τῷ γεννή-
ματι. καὶ πῶς ἀληθεύει ὁ λέγων, Ὁ Πατὴρ ὁ
Joh. 10:29. πέμψας με, μείζων μοῦ ἐστίν; Ορθ. Τὸ ἀ-
γέννητον ἐπὶ Θεοῦ καὶ πατρὸς οὐσία οὐκ ἔστιν,
ἀλλὰ τοῦ μὴ πατέρα ἔχειν τὸν Θεὸν, δηλωτικόν.
οὐδεὶς δὲ διὰ τοῦτο μείζων τινὸς, διὰ τὸ πατέρα
μὴ ἔχειν. οὐδὲ γὰρ ὁ Ἀδὰμ πατέρα ἔχει, οὔτε
ἡ Εὔα

ἡ Εὔα· ἀλλ᾽ ὅμως εἰσὶν ἡμῖν ὁμοούσιοι. πῶς δὲ καὶ περὶ ἀγεννήτου καὶ γεννητοῦ φιλοσοφῶν, ὥσπερ ἐπιλανθανόμενος σαυτοῦ ἐπήγαγες τό, Ὁ Πατὴρ ὁ πέμψας με, μείζων μου ἐστίν; ἔδει γάρ σε μᾶλλον ἑαυτῷ ἀκολουθοῦντα εἰπεῖν, Ὁ ἀγέννητος ὁ πέμψας με, μείζων μου ἐστίν. ἀλλ᾽ οὐ γέγραπται, διὰ τοῦτο οὐ λέγεις καλῶς. μὴ σοφίζου πολλά, ἵνα μὴ ἐκπλαγῇς. οὐ γὰρ εἶ σοφώτερος τοῦ Δανιήλ, μή τι γε τοῦ πνεύματος, τὸν πατέρα μὲν διδάξαντος, ἀγέννητον δὲ μή. Αν. Εἰ δὲ κατ᾽ ὄγκον ὁ πατὴρ μείζων, σύνθετος ἔσται ὁ ἀγέννητος, καὶ πῶς ἁπλοῦς ὢν καὶ ἀσχημάτιστος· εἴγε ὁ ὄγκος σύνθετον καὶ μεριστόν. πᾶς γὰρ ὄγκος ἐκ μερῶν σύγκειται, καὶ σύνθεσιν μερῶν ἔχει· ὅπερ ἐπὶ Θεοῦ λέγειν ἄτοπον. Ορθ. Ἐπὶ Θεοῦ λέγειν σύνθεσιν καὶ ὄγκον, ἄτοπον, ἀληθῶς δὴ ἄτοπον. Θεὸς δέ, κἂν μὴ θέλῃς, ὁ Υἱός, ἀσύνθετος καὶ ἁπλοῦς καὶ ἀσχημάτιστος καὶ αὐτός· καὶ σύνθεσιν λέγειν καὶ ὄγκον ἐπ᾽ αὐτοῦ ἄτοπον. εἰ δὲ τοῦτο, τὸ μεῖζον ἄρα ἐν τούτοις οὐχ εὑρεθήσεται. ἐν δὲ τῷ ἁπλῷ καὶ ἀσυνθέτῳ καὶ ἀσχηματίστῳ καὶ θείῳ ἴσος ὁμολογηθείς, μείζονα τὸν πατέρα λέγει, μορφὴν δούλου λαβών, καὶ τιμῶν τὸν ἑαυτοῦ πατέρα. ἀκούεις γοῦν αὐτοῦ

λέγοντος,

λέγοντος, Ἀλλ' ἐγὼ τιμῶ τὸν πατέρα, ὑμεῖς
δὲ ἀτιμάζετέ με. καὶ ὁ πατὴρ τιμᾷ τὸν Υἱὸν, κα-
θίσας αὐτὸν ἐκ δεξιῶν, καὶ πάντας ἕλκων πρὸς
αὐτόν. λέγει γὰρ αὐτὸς ὁ Υἱὸς, Οὐδεὶς ἔρχεται
πρός με ἐὰν μὴ ὁ πατὴρ ὁ οὐράνιος ἑλκύσῃ
αὐτὸν πρός με. Αν. Ἄλλως δὲ, εἰ ἔστι τι τὸ
ἀγέννητον, ἢ ὅλον ἐστὶ τοῦτο, ἢ μέρος. ἀλλ' εἰ
μὲν μέρος, πάλιν ἑαυτοῦ ἐστιν ἀνόμοιος, εἴ-
γε τὸ μὲν μέρος αὐτοῦ ἀγέννητον· τὸ δὲ ἄλλο, μή.
εἰ δὲ ὅλη ἡ φύσις ἀγέννητος, καθόλου δὲ μείζων
ὁ πατὴρ εὐθὺς ἐπὶ τὴν παραλλαγὴν τῆς οὐ-
σίας ὅλως ἐκπίπτει. εἰ γὰρ ἡ οὐσία ὅλη ἀγέννη-
τος, καὶ οὐδὲν ἐπ' αὐτῇ μέρος γεννητὸν, κατὰ
δὲ τὸ ἀγέννητον ἀνόμοιος, καθ' ὅλην ἄρα τὴν
οὐσίαν ἀνόμοιος. Πῶς οὖν λέγεις πλέον τῆς ἀ-
γεννησίας, ἐν δὲ τῷ γεννητῷ ἔχει τὴν ὑπεροχὴν
κατὰ τοῦ Υἱοῦ; τὸ δὲ ἀγέννητον οὐδὲν ἔσται τοῦ Υἱοῦ μεί-
ζων, ὅπερ ἔξω φησὶ τῆς οὐσίας τοῦ πατρός.
εἰ δὲ ἡ ὑπεροχὴ ἔξω τῆς οὐσίας τοῦ πατρὸς, ἡ
ἰσότης ἐν τῇ οὐσίᾳ ἐστίν. μεῖζον δέ ἐστι τὸ ἀγέννη-
τον τοῦ Υἱοῦ, ὅπερ πᾶσιν οὐδὲν, καὶ τὸ ἴσον ἐν τῷ
Υἱῷ ἔσται, ἐκεῖνο μὲν ἀγέννητον, τοῦτο δὲ γεν-
νητά.) Ὀρθ. Ἀρπάζειν δεῖ οὐ τὰ ἄγραφα,
ἀλλὰ τὴν τῶν οὐρανῶν βασιλείαν. τί οὖν σὺ ἀρ-
πάζεις ὃ οὔτε ἡ γραφή σοι δίδωσιν, οὔτε ἡμεῖς

Mendosus Textus.

οὐδεὶς γὰρ ἡμῶν σοι δίδωσι καὶ τὸ ἀγέννητον μείζονα τὸν πατέρα. οὐδὲ γὰρ ὁ Υἱὸς εἶπεν, Ὁ ἀγέννητος μείζων μου ἐστὶν· ἀλλ' ὁ πατὴρ, πρὸς ὃν πορεύεσθαι ἔμελλεν. λέγει γὰρ οὕτως, Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα. ὁ γὰρ πατήρ μου μείζων μου ἐστίν. πορεύεται δὲ, ὡς μορφὴν δούλου λαβών· ὡς δὲ Θεὸς, ἐν αὐτῷ τὸν πατέρα ἔχει, λέγων, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων, ποιεῖ τὰ ἔργα αὐτός. μὴ οὖν ἐπίσπειρε ζιζάνια τῷ ἀγρῷ τῆς θείας γραφῆς· τὸ ἀγέννητον καὶ τὸ ἀνόμοιον. ἀλλ' εἰ θέλεις φιλοσοφεῖν ταῦτα τὰ ῥήματα, ἐπὶ τοῦ ἀφθάρτου καὶ ἀθανάτου φιλοσόφει· ταῦτα γὰρ εἰσὶ σπέρματα τοῦ ἀγροῦ τῆς γραφῆς. οἷον, εἰ ἔστι τὸ ἀθάνατον, ἢ ὅλον ἐστὶ τοῦτο ἢ μέρος. ἀλλ' εἰ μὲν μέρος, πάλιν ἑαυτῷ ἔσται ἀνόμοιος. εἴγε τὸ μὲν μέρος αὐτοῦ ἀθάνατον, τὰ δὲ ἄλλα μή. εἰ δὲ ὅλη ἡ φύσις ἀθάνατος καὶ ἄφθαρτος, καθόλου δὲ ἀθάνατος ὁ πατὴρ καὶ ἄφθαρτος, καὶ ὁ Υἱὸς εὐθὺς ἐπὶ τὸ ταυτὸν τῆς οὐσίας ὅλον εὑρεθήσεται. εἰ γὰρ ἡ οὐσία ὅλη ἀθάνατος καὶ ἄφθαρτος, καὶ οὐδὲν ἐν αὐτῇ μέρος ἐναντίον, καθ' ὅ-

λου

λὴν ἄρα τὴν οὐσίαν ἡ ταυτότης. πῶς οὖν τολμᾷ τις λέγειν ἀνόμοιον; λέγε τι τῆς ἐνεργείας φασὶ εἰκόνα. εἰ δὲ ἐνέργεια ταυτὸν τῇ οὐσίᾳ, τῆς ἄρα οὐσίας ἔσται εἰκὼν ὁ Υἱός. ἐρωτῶμεν τοίνυν, ἐγέννησεν, ἢ οὔ; Φησί, ναί. Ἐκ τῆς οὐσίας ἢ ἐκ τῆς θελήσεως; Οὐκ ἐκ τῆς οὐσίας, φησί, ἀλλ' ἐκ τῆς βουλήσεως. ἄλλο γὰρ λέγεις αὐτὸς τὴν ἀγαθότητα καὶ τὴν βούλησιν παρὰ τὴν οὐσίαν, ἢ τὴν αὐτήν. εἰ μὲν οὖν τὴν αὐτὴν λέγεις, ἐκ δὲ τῆς θελήσεως καὶ τῆς ἀγαθότητος ἐγέννησεν, ἀλλ' ὡς ὁμοούσιον λέγεις τῷ πατρὶ τὸν Υἱόν· ὅπερ οὐ βούλει. λέγεις δὲ ὅτι καὶ τὰ πάντα ἐκ τῆς βουλήσεως τοῦ Θεοῦ ἐγένετο διὰ Υἱόν. εἰ δὲ θέλησις ταυτὸν τῇ οὐσίᾳ, ὁμοούσια ἔσται τὰ πάντα τῷ Θεῷ, εἴτε ἑρπετὰ εἴτε νηκτὰ, καὶ τὰ λοιπὰ πάντα. πάντα γὰρ ὅσα ἠθέλησεν ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. οὕτως ἄρα καὶ τῆς ἐνεργείας εἰκὼν ὤν, ἐξ ὧν αὐτὸς λέγεις, οὐχὶ καὶ τῆς οὐσίας ἐστὶν ἀπαράλλακτος; εἰ μὲν οὖν τοὺς ἑαυτοῦ διατρέπειν ὁμοδόξους ἐπιχειρεῖς, συνήγαγες· εἰ δὲ τὸν ἀληθῆ λόγον, οὐδὲ ἀκροατὴς γεγενῆσθαι τούτου φαίνῃ μοι. ὅτι γὰρ τῆς οὐσίας εἰκὼν ὁ Υἱός, ὁ Ἀπόστολος εἶπεν, Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως. τὸ γὰρ χαρα-

κτὴρ

χαρακτὴρ τῆς ὑποστάσεως, οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ εἰκὼν τῆς οὐσίας. καὶ ὅτι οὐκ ἔστι ταυτὸν ἡ θέλησις καὶ ἡ οὐσία, ἡμῶν αὐτὸς ὁ λόγος. διὰ γὰρ τοῦτο τὸν μὲν Υἱὸν, γέννημα τῆς οὐσίας λέγομεν εἶναι· ἑαυτοὺς δὲ τῆς θελήσεως. ἔστιν δὲ καὶ κατά σε οὐ ταυτὸν τῇ οὐσίᾳ ἡ θέλησις· ἡ δὲ οὐσία οὔτε ἤρξατο, οὔτε παύεται. οὔτε ἄρα ἤρξατο ἡ εἰκών, οὔτε ἐπαύσατο. ἡ δὲ θέλησις καὶ ἄρχεται καὶ παύεται· τοὺς τοίνυν λέγοντας ταυτὸν εἶναι τῇ οὐσίᾳ τὴν θέλησιν, ἐκείνους ἔχε. ἡμεῖς γὰρ καὶ βουλόμεθα, καὶ ὁμολογοῦμεν, καὶ πιστεύομεν ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν Υἱόν. διὰ γὰρ τοῦτο καὶ μονογενῆ αὐτὸν εἶναι πιστεύομεν, ὅτι μόνος αὐτὸς ἐκ τῆς οὐσίας γεγέννηται, καθὼς προείρηται· οἱ δὲ ἄλλοι πάντες ἐκ τῆς θελήσεως. Ὁμοούσιον δὲ λέγοντες τῷ πατρὶ τὸν Υἱὸν, οὐκ αὐτὸν ἑαυτῷ λέγομεν ὁμοούσιον. οὐδεὶς γὰρ αὐτὸς ἑαυτῷ ὁμοούσιος. εἰ δὲ ἀληθῶς ὁμολογεῖς τὰ πάντα ἐκ τῆς βουλήσεως τοῦ πατρὸς διὰ τοῦ Υἱοῦ γεγονέναι. μὴ δὲ πάντων λέγῃς τὸν Υἱὸν γεγονέναι, καὶ αὐτὸν δι' ἑαυτοῦ δόξῃς γεγονέναι. εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἄρα βουλήσεως ἐστὶν ὁ Υἱός. * ὁμοίως ποιεῖ, ποιήσει καὶ ὁ Υἱὸς ἄλλον υἱὸν, ἵνα πάντα τῷ πατρὶ ὁμοίως ποιήσῃ. εἰ δὲ οὐκ ἐποίησεν, οὐδὲ ποιεῖ, οὐκ ἔστι ποίημα αὐτός, ἀλη-

θεύει γάρ, λέγων ὅτι Πάντα ὅσα ἂν ποιῇ ὁ πατήρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. οὐ ποιεῖ δὲ ἑαυτόν. οὐκ ἔστιν ἄρα ποίημα. ἀλλ' ἐρεῖς· οὐκ εἶπεν, Πάντα ὅσα ἐποίησεν, ἀλλ' ὅσα ποιεῖ. γίνωσκε ὅτι ἔθος τῇ γραφῇ τὸ παρῳχηκὸς ὡς ἐπὶ ἐνεστῶτος χρόνου λέγειν. ὡς τό, Ὁ ποιῶν ἀγγέλους αὐτοῦ πνεύματα. καὶ ἐν ἑτέρῳ, Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. καί, Ὁ ποιῶν πλειάδα καὶ ἕσπερον καὶ ἀρκτοῦρον, καὶ ταμιεῖα νότου. Ἀν. Περὶ πάντων δὲ καὶ ὑπὲρ πάντα ἐρωτᾶν δεῖ αὐτόν, τί σημαίνει τὸ ἀγένητον. εἰ μὲν γὰρ τὴν οὐσίαν, (ὅπερ ἐστὶν ἀληθές) τοσαύτη ἔσται ἡ παραλλαγή. Ὀρθ. Καὶ ἡμεῖς δὲ περὶ πάντων ἐρωτῶμεν, τί σημαίνει τὸ γενητόν. εἰ μὲν γὰρ τὴν οὐσίαν, (ὅπερ ἐστὶ ψεῦδος) πάντα τὰ γενητὰ ὁμοούσια· εἰ δὲ οὐ πάντα τὰ γενητὰ ὁμοούσια, (ὅπερ ἐστὶν ἀληθές) οὐκ ἄρα τὸ γενητὸν οὐσία. εἰ δὲ τὸ γενητὸν οὐκ οὐσία, οὐδὲ τὸ ἀγένητον οὐσία. εἰ δὲ τὸ ἀγένητον οὐσία, τὸ δὲ γενητὸν οὐκ οὐσία, ἀνούσια τὰ γενητά. τί οὖν λέγεις ἀνόμοιον; τὸ γὰρ μὴ ὂν τῷ ὄντι οὔτε ὅμοιον οὔτε ἀνόμοιον. ἡμεῖς δὲ τὸν Υἱὸν γεννητὸν μὲν λέγομεν, οὐχὶ δὲ καὶ γενητόν. γεννητὸν γάρ ἐστι τὸ πατέρα ἔχον· γενητὸν δέ, τὸ γενεσιουργὸν ἔχον.

Ἐκ

## Ἐκ τῆς ἐπιστολῆς Ἀετίου, τοῦ διδασκάλου τοῦ Εὐνομίου.

Ἐπειδὴ ἐν καιρῷ τοῦ ἐπενεχθέντος ἡμῖν διωγμοῦ ὑπὸ τῶν χριστιανῶν, τινὲς τῶν προειρημένων σφετερισάμενοι μετὰ καὶ ἄλλων θεωρημάτων, ποιημάτιον σπουδασθὲν ἡμῖν ἰδιαζόντως περὶ γεννητοῦ Θεοῦ καὶ ἀγεννήτου Θεοῦ παρενθήκαις τε καὶ ἀφαιρέσεσι διαφθείραντες ἐξέδωκαν, τὴν ἀκόλουθον ἀμείψαντες ἀγωγήν· ἦλθεν δὲ μετὰ ταῦτα τοῦτ' εἰς ἡμᾶς, τινὸς τῶν σπουδαίων ἡμῖν αὐτὸ προσκεκομικότος, ἠναγκάσθην αὐτό, οἷα πατὴρ, αὖθις διακαθάρας, ἐκπέμψαι ὑμῖν τὸ σύγγραμμα, ὦ πάντες εὐσεβεῖς ἀθληταί τε καὶ ἀθλήτριαι· ὅπως ἂν εὐθύνῃ ἔχοιτε κατ' ἔννοιαν τῶν γραφῶν εἰρῆσθαι ὑμῖν τὸ λογίδιον, δι' οὗ πάντας ἀνθρώπους ἀντιλέγειν ὑμῖν ἐπιχειροῦντας περὶ γεννητοῦ καὶ ἀγεννήτου, παύειν συντόμοις περιτροπαῖς δυνήσεσθε, πάντων δὲ μᾶλλον τοὺς προειρημένους χριστιανούς· ἐν οἷς δεῖ τῶν εἰχηρῶν ἐπαπόρησιν ἐπαπορήσαντας διαστήσεις, καὶ λύσιν λύσεως, διὰ τὸ εὐπερίδρακτον καὶ σαφὲς τῶν ἐπιχειρημάτων, ποιησάμενος τὴν ἀρχὴν περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ. Ὅρ.

Μὴ καυχῶ διωχθείς, εἴγε ἐδιώχθης. ἐδιώχ-
θησαν γὰρ παρὰ τοῦ Υἱοῦ καὶ οἱ ποιοῦντες τὸν οἶκον
τοῦ πατρὸς αὐτοῦ οἶκον ἐμπορίου. εἰ δὲ τοῦτο, οὐκ
ἄρα τὸ διώκεσθαι πάντως ἐπαινετόν. τίνας δὲ
λέγεις χρόνους; τοὺς ἀπὸ τῶν ἁγίων ἀποστόλων
μέχρι καὶ σήμερον αἰνοῦντας πατέρα καὶ Υἱὸν καὶ
ἅγιον πνεῦμα, ἢ τοὺς ἀπὸ σοῦ τοὺς χθὲς καὶ σή-
μερον φανέντας, καὶ αἵρεσιν ἔχοντας, ἐάσαν-
τας τὸ πατρὸς καὶ Υἱοῦ ἅγιον ὄνομα; καὶ ἐπαι-
ρομένους κατ' αὐτοῦ τοῦ διδάξαντος, βαπτί-
ζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁ-
γίου πνεύματος; καὶ νομίζοντας ἑαυτοὺς εἶναι
σοφωτέρους τοῦ τὸν πατέρα, καὶ ἑαυτὸν Υἱὸν διδά-
ξαντος; δῆλον μὲν γὰρ ὅτι παρενθήκας καὶ ἀφαιρέ-
σεις τινές ποτε τῇ παρά σου ῥαφείσῃ πονηρίᾳ
πεποιήκασι. νῦν τί λέγεις, ἢ τί πλεῖον ἐπινοεῖς
βλασφημίας, ἀνόμοιον λέγων κατ' οὐσίαν τὸν
Υἱόν; ἔχεις τι πλέον τούτου εἰπεῖν; οὐ καὶ Ἰουδαῖοι
καὶ Ἕλληνες εἶναι λέγουσιν, οἱ μὴ πειθόμενοι
εἶναι αὐτὸν Θεόν; καὶ διὰ τοῦτο ταῦτα λέγοντες
περὶ αὐτοῦ, ἃ σὺ λέγεις, γεννητόν τε καὶ ἀγέννητον
προβαλλόμενος, καὶ ἐάσας πατέρα καὶ Υἱόν,
ὅ ἐστιν Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μω-
ρία; καὶ πατέρα σαυτὸν θέλεις εἶναι τῶν ἀθλιώ-
των ὑπὲρ γεννητοῦ καὶ ἀγεννήτου Θεοῦ, ἐὰν δὲ καὶ συγ-

χωρηθῇ

χωρηθῇ σοι εἰς τὸ ὄνομα τοῦ ἀγεννήτου καὶ γεννητοῦ βαπτίσαι, τί ποιήσεις καὶ εἰς τὴν τοῦ πνεύματος ὀνομασίαν; ἆρα οὔτε γεννητὸν, οὔτε ἀγέννητον ὀνομάσεις, ἢ καὶ αὐτὸ γεννητόν; καὶ πῶς ἐστι κατά σε ἑτεροούσιον τὸ γεννητὸν τοῦ γεννητοῦ, εἴπερ οὐσία τὸ γεννητόν; Αν. Εἰ ἀδύνατόν ἐστι τῷ θεῷ τὸ γεννητὸν ἀγέννητον ποιῆσαι, ἀδύνατον ἂν εἴη καὶ τὸ ἀγέννητον γεννητὸν ποιῆσαι. Ὀρθ. Κἂν ᾖ αὐτῷ ἀδύνατον τὸ γεννητὸν ἀγέννητον ποιῆσαι, ὡς καὶ τὸ ψεύδεσθαι, ἀλλ᾽ οὐκ ἀδύνατον αὐτῷ τὸ γεννῆσαι. οὐδὲ γὰρ τὸ ἀληθεῦσαι ἀδύνατον. γεννῶν δὲ, οὐκ ἀγέννητον γεννᾷ, ἀλλὰ θεόν. θεὸν ἄρα θεὸς γεννήσας, οὔτε τὸ γεννητὸν, ἀγέννητον ἐποίησεν· οὔτε τὸ ἀγέννητον, γεννητόν. Αν. πάσης αἰτίας κρείττων ὑπάρχει ὁ ἀγέννητος θεός. εἰ δὲ κρείττων ἐστὶ πάσης αἰτίας, δῆλον ὅτι καὶ γενέσεως. οὔτε γὰρ παρ᾽ ἑτέρας φύσεως εἴληφεν τὸ εἶναι, οὔτε αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέχει, οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερβεβληκέναι πᾶσαν αἰτίαν. Ὀρθ. Ἀληθῶς φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, περὶ ὑμῶν εἴρηται τῶν κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ στρατευομένων. εἰ γὰρ ἐπειδὴ πάσης αἰτίας κρείττων ὑπάρχει ὁ ἀγέννητος θεὸς, διὰ τοῦτο καὶ γενέσεως, ἡ γένεσις αἰτία καὶ οὐκ ἔστιν οὐσία.

εἰ δὲ ἡ γέννησις οὐκ οὐσία, ἀλλ' αἰτία, εἰπὲ τὴν οὐσίαν. τίνα δὲ καὶ αἰτίαν θέλεις εἶναι τοῦ Υἱοῦ; τὴν γέννησιν, ἢ αὐτὸν ὡς νομίζεις ἡ ἀγεννησία· αὕτη οὖν ἔσται τοῦ Υἱοῦ ἡ αἰτία. εἰ δὲ οὐκ αὐτὸς ὁ πατὴρ αἴτιος τοῦ Υἱοῦ, ἀλλ' ἡ γέννησις, ταύτης ἔσται ὁ Υἱὸς, καὶ αὐτὴ αὐτοῦ πατήρ. βαπτισθεὶς ἄρα εἰς πατέρα, εἰς γέννησιν ἐβαπτίσθης καὶ εἰς τὸν ταύτης Υἱόν. τάχα γὰρ οὐδὲ, εἰ ἔστι πνεῦμα ἅγιον ἀκήκοας. Αν. Πόθεν αὐτὸς τὴν ὑποστᾶσαν πρὸς τὴν ὑποστήσασαν φύσιν τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειεν, οὐ προσιεμένης τῆς τοιαύτης ὑποστάσεως γέννησιν; Ορθ. Εἰ ἡ μὲν ὑποστᾶσα φύσις ἔξωθεν προσεγένετο, ἀπαράλλακτος εἶναι οὐ δύναται· εἰ δὲ ἐξ αὐτοῦ γεγέννηται ὡς ἀπαύγασμα δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως, τὸ ἀπαράλλακτον ἔχει. ὁ γὰρ ἑωρακὼς ἐμὲ, ἑώρακεν τὸν πατέρα, οὐχ ἑαυτὸν φήσας πατέρα εἶναι, ἀλλὰ τοιοῦτον οἷον τὸν πατέρα. Αν. Εἰ ἀπελευτήτως διαμένει ὁ Θεὸς ἐν ἀγεννήτῳ φύσει, καὶ ἀπελευτήτως τὸ γέννημα, γέννημά ἐστιν, ἡ τοῦ ὁμοουσίου καὶ ὁμοιουσίου κακοδοξία παραφανισθήσεται. ἵσταται δὲ τὸ ἐν οὐσίᾳ ἀσύγκριτον, ἑκατέρας φύσεως ἀπαύστως διαμενούσης ἐν

τῷ οἰκείῳ τῆς φύσεως ἰδιώματι. Ορθ. Ὁμολογεῖς τὸ γέννημα ἀληθῶς γέννημα, ὁμοούσιον μὲν εἶναι, οὐκ ἀγέννητον δέ. ἔτι γὰρ τὸ ἀγέννητον φύσις οὐκ ἔστι, δέδεικται. εἰ γὰρ τὸ ἀγέννητον φύσις, καὶ τὸ γεννητὸν φύσις· εἰ δὲ τὸ γενητὸν φύσις, πάντα τὰ γεννητὰ τῆς αὐτῆς εἰσι φύσεως. εἰ δὲ οὐ πάντα τὰ γεννητὰ τῆς αὐτῆς εἰσι φύσεως, τὸ γεννητὸν οὐκ ἔστι φύσις. ὅτι δὲ ὁμοούσιός ἐστι τῷ ἑαυτοῦ πατρὶ ὁ μονογενής, ἀκούομεν αὐτοῦ λέγοντος, Πάντα ὅσα ἂν ποιῇ ὁ πατὴρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ· ὧν δὲ ἡ αὐτὴ ἐνέργεια, ἡ αὐτὴ οὐσία. Αν. Εἰ ἀγέννητός ἐστιν ὁ Θεὸς τὴν οὐσίαν, οὐκ οὐσίας διαστάσει τὸ γεννηθὲν ἐγεννήθη, ἀλλ᾽ ἐξουσίας ὑποστησάσης αὐτό. τὴν γὰρ αὐτὴν οὐσίαν καὶ γεννητὴν εἶναι καὶ ἀγέννητον, οὐδεὶς λόγος εὐσεβὴς ἐπιτρέπει. Ορθ. Οὐκ οὐσίας διαστάσει τὸ γεννηθὲν ἐγεννήθη, (τοῦτο γὰρ ἂν ἦν σώματος εἰπεῖν τὴν οὐσίαν) ἀλλ᾽ ἐκ τῆς ἀσωμάτου οὐσίας θεοπρεπῶς ἐγεννήθη, ὡς ἀπαύγασμα δόξης. εἰ δὲ καὶ αὐτὸς κατ᾽ ἐξουσίαν καθάπερ οἱ δεξάμενοι αὐτόν. (γέγραπται γὰρ, ὅτι ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι) πῶς αὐτὸν μονογενῆ καὶ φύσει Θεὸν λέγεις, πολλῶν ὄντων τῶν κατ᾽ ἐξουσίαν υἱῶν καὶ θεῶν; τὴν

δὲ αὐτὴν οὐσίαν γεννητὴν καὶ ἀγέννητον οὐδεὶς λέγει. δέδεικται γὰρ ὅτι οὔτε τὸ ἀγέννητον οὐσία, οὔτε τὸ γεννητόν. Αν. Εἰ τὸ ἀγέννητον ἐγεννήθη, τί κωλύει καὶ τὸ γεννητὸν ἀγέννητον γενέσθαι; μᾶλλον γὰρ τοῦ ἀνοικείου ἐπὶ τὸ ἑαυτῆς οἰκεῖον ἐπείγεται πᾶσα φύσις. Ορθ. Τὸ ἀγέννητον οὔτε ἐγέννησεν οὔτε ἐγεννήθη, (οὐσία γὰρ οὐκ ἔστιν) ὁ δὲ Θεὸς ἐγέννησεν, κἂν μὴ θέλωσι μετὰ σοῦ οἱ Ἰουδαῖοι. εἰ δὲ οὐκ ἐγέννησεν, περιττὴ καὶ ἡ τοῦ πατρὸς προσηγορία. τὸ δὲ, Μᾶλλον γὰρ ἐπὶ τὸ ἑαυτῆς οἰκεῖον ἐπείγεται πᾶσα φύσις, εἰρηκὼς, ἐδίδαξας ὅτι οὐ τὸ ἀγέννητον ἡ φύσις· τὸ γὰρ ἐπειγόμενον, ἄλλο πρὸς ἄλλο ἐπείγεται. εἰ δὲ οὔτε τοῦ οἰκείου ἐστὶν Υἱὸς, οὔτε τῆς φύσεως, εἰπὲ τοῖς Ἰουδαίοις, (δώσεις γὰρ αὐτοῖς εὐαγγέλια) ὅτι τὸν μήτε τοῦ οἰκείου ὄντα Υἱὸν, μήτε τῆς φύσεως, ἐσταύρωσαν, λέγοντα ἑαυτοῦ ἴδιον πατέρα τὸν Θεόν. Αν. Εἰ μὴ ὅλος ὁ Θεός ἐστιν ἀγέννητος, οὐδὲν κωλύει τὸ γεγεννηκέναι οὐσιωδῶς. εἰ δὲ ὅλος ἐστὶν ἀγέννητος, οὐκ οὐσιωδῶς εἰς γένεσιν διέστη, ἐξουσίᾳ δὲ ὑπέστησε τὸ γέννημα. Ορθ. Ἐὰν ὅλος ὁ Θεὸς γεννητὸς ᾖ, οὐδὲν κωλύει γεγεννηκέναι αὐτὸν οὐσιωδῶς· ὅλος δὲ ὁ Υἱός καὶ κατὰ σὲ γεννητός ἐστιν· εἰπὲ τίνα ἐγέννησεν οὐσιωδῶς. εἰ δὲ οὐδένα ἐγέννησεν οὐσιωδῶς καὶ γεννητός ἐστιν, οὐκ

ἄρα

ἄρα εἰ γεννητός ἐστι, γεννᾷ οὐσιωδῶς. εἰ δὲ, ὅτι
γεννητός ἐστιν ὁ Υἱὸς οὐ γεννᾷ, οὐδὲ ὁ πατὴρ, εἰ
ἀγέννητός ἐστι γεννᾷ, ἀλλὰ Θεὸς ὤν, καὶ αὐτο-
δόξα, ἀπαύγασμα ἔχει γέννημα Θεὸν ἐνυ-
πόστατον. εἰ γὰρ μὴ ἐκ τῆς οὐσίας ἐγέννησεν, οὐδὲ
πατήρ ἐστιν κατὰ οὐσίαν. Ἵνα τί βαπτίζεις εἰς
τὸ ὄνομα τοῦ πατρὸς, τοῦ μὴ κατὰ οὐσίαν πατρός;
γεννήσας δὲ ἐκ τῆς οὐσίας οὐ διέστη ὡς ἐνόμισας,
οὐ γὰρ σῶμά ἐστιν ἡ οὐσία. Ἀρ. Εἰ ὅλως ἐστὶ γεν-
νητικὸς ὁ ἀγέννητος Θεός, οὐκ οὐσιωδῶς τὸ γεν-
νηθὲν ἐγεννήθη, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ
τὸ γεννᾶν, ἀλλ᾽ οὐ τὸ γεννᾶσθαι. Ὀρθ. Κα-
τὰ τὴν σὴν σοφίαν, εἰ ὅλον ἐστὶ γεννητικὸν τὸ
φῶς, οὐκ οὐσιωδῶς τὸ ἀπαύγασμα γεννᾷ,
ἀλλ᾽ ἐξ ὧν αὐτὸ προσλαμβάνει, ὅλης ἐχού-
σης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾶν, ἀλλ᾽ οὐ τὸ γεν-
νᾶσθαι. εἰ δὲ οὐ προσλαμβάνει τὸ φῶς ἔξωθεν
τὸ ἀπαύγασμα, ἀλλ᾽ ἐκ τῆς οὐσίας αὐτὸ
γεννᾷ, οὐδὲ ὁ Θεὸς ἐπεκτήσατο ἔξωθεν Υἱόν,
ἀλλ᾽ ἐκ τῆς οὐσίας γεννήσας, ἀμέριστος μέ-
νει. ἀσώματος γάρ. Ἀρ. Εἰ δὲ μετασχη-
ματισθεῖσα ἡ οὐσία τοῦ Θεοῦ γέννημα λέγεται,
οὐκ ἀμετάβλητος ἡ οὐσία αὐτοῦ, τῆς μεταβο-
λῆς ἐργασαμένης τὴν τοῦ Υἱοῦ ἰδιοποίησιν. Ὀρθ.
Εἰ μετασχηματισάμενον τὸ φῶς, ἀπαυγασ-

 μα γέ-

μα γίνεται, οὐκ ἀμετάβλητον τὸ φῶς, τῆς μεταβολῆς ἐργασαμένης τὴν τοῦ ἀπαυγάσματος ἰδιοποίησιν. εἰ δὲ οὐ μεταβληθὲν τὸ φῶς ἀπαύγασμα γέγονεν, ἀλλὰ καὶ τὸ φῶς μένει φῶς, καὶ ἀπαυγάσματός ἐστιν αἴτιον· καὶ ὁ Θεὸς μένει Θεός, καὶ ἀπαυγάσματός ἐστιν ἰδίου πατὴρ, οὐκ ἔξωθεν αὐτὸ προσλαβὼν, ἀλλ᾿ ἐκ τῆς οὐσίας αὐτὸ γεννήσας. διὸ καὶ ἀληθῶς ἐστι πατήρ. Ἀν. Εἰ δὲ εἴη καὶ ἀμετάβλητος καὶ γενέσεως κρείττων ἡ οὐσία τοῦ Θεοῦ, τὸ μετὰ τὸν Υἱὸν ἕως ψιλῆς προσηγορίας ὁμολογηθήσεται. Ὀρθ. Εἰ ᾔδεις ὅτι ἡ γένεσις οὐκ ἔστιν οὐσία, ἐγίνωσκες ὅτι καὶ ὁ Υἱὸς καὶ πᾶσα ἄλλη οὐσία γενέσεως ἐστὶ κρείττων. εἰ γὰρ ἡ γένεσις οὐσία, πάντα τὰ γεννητὰ ὁμοιούσια· οὐκ ἄρα ἡ γένεσις οὐσία. εἰ δὲ οὐκ ἔστιν ἡ γένεσις οὐσία, οὐδὲ κρείττων ἐστὶν οὐσίας ἡ γένεσις, ἔσται κατὰ τὴν σὴν σοφίαν καὶ τοῦ Υἱοῦ κρείττων. εἰ δὲ τοῦτο τὸ ἄτοπον, δῆλον ὅτι ἡ οὐσία κρείττων ἐστὶ γενέσεως, οὐδὲν ἄρα μέγα ἐπὶ τοῦ πατρὸς ἐνόμισας, εἰ κρείττων ἐστὶ γενέσεως. πῶς δὲ καὶ εἰς ψιλὴν προσηγορίαν βαπτισθεὶς, νομίζεις ἔχειν ἀσφαλὲς τὸ βάπτισμα, οὐχὶ δὲ καὶ αὐτὸ ἐν ψιλῇ προσηγορίᾳ κέκτησαι; εἰ γὰρ τὸ Υἱὸς

ψιλὴν

ψιλὴ προσηγορία, καὶ τὸ πατὴρ, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ βαπτισθεὶς, εἰς ψιλὴν προσηγορίαν ἐβαπτίσθης.

# GREGORII NAZIANZENI DE LAUDIBUS ATHANASII MAGNI ARCHIEPISCOPI Alexandrini, Oratio.

ATHANASIUM laudans virtutem laudabo. Idem enim est illum dicere, quod virtutem laudibus efferre: quoniam virtutes omnes complexu suo tenebat: vel, ut verius loquar, tenet. Deo etenim omnes vivunt, qui secundùm Deum vixerunt, etiamsi ex hac vita migrarint. Unde & Deus, Deus Abraham, Deus Isaac, & Deus

Deus Iacob dicitur, ut viventium Deus non mortuorum. Virtutem laudans, Deum laudabo, à quo virtus ad homines promanat: cuiusq; beneficio nobis contingit, ut ad eum per cognatam illuminationem evehamur, vel potius revehamur. Nam cum multa & magna sint atque adeò tot & tanta, ut nemo ea sermone complecti possit, quæ nos à Deo partim habemus, partim habituri sumus: In hoc tamen potissimùm elucet ipsius in genus humanum beneficentia, quòd ad eum animos erigimus, eique velut necessitudine quadam ac cognatione iungimur. Nam quod sensibilibus rebus est Sol noster, hoc intelligibilibus est Deus. Ille enim mundũ hunc aspectabilẽ collustrat: hic invisibilẽ. Ille corporis oculos ita afficit, ut lumẽ ipsius intueri possint: hic mentes deiformes reddit. Atq; ut ille cùm & iis, q̃ oculorũ sensu p̃dita sunt, & q̃ in aspectũ cadunt, hãc vim tribuat, ut & illa videre & hæc visu percipi possint, interim tamen ipse omnia, quæ oculis subiecta sunt, pulchritudine antecellit: eodem modo Deus, cum tam iis, quæ intelligentia utuntur, quàm quæ mente & intellectu compræhenduntur, hoc afferat, ut & illa intelligant, & hæc intelligentia percipiantur, ipse tamen intelligibilium omnium summus est

vertex.

vertex, in quo desiderium omne consistit ac defigitur, nec supra eum usquam fertur. Nec enim quicquam sublimius habet, aut omninò habebit mens ulla, quantumvis philosophica, altissimè tentens ac summè curiosa. Hoc etenim rerum omnium expetendarum extremum est, quo cum pervenerimus, conquiescit omnis speculatio. Quicunque igitur corporis crassitie, rationis & contemplationis ope perrupta, solutaque hac carnea, sive nubes sive obvelatio dicenda est, cum Deo commercium habere, ac purissimæ luci quantum humanæ naturæ datum est, commisceri licuerit, is duplici nomine beatus censendus est: tùm quod hinc seipsum extulerit, tum quod illius vitæ divinitatem sit consecutus, quam verum & sincerum philosophiæ studium conciliat, ac mentis supra terrenum binarium subvectio, propter eam, quam in Trinitate intelligimus vnitatem. Qui autem ob hanc carnis copulam deterior factus est, atque ita luto cohæsit, ut nec veritatis radios intueri, nec supra inferiora hæc assurgere queat, idque cùm supernè originem traxerit, & ad superna vocetur: hunc cæcitatis ergo miserum existimo, etiamsi res huiusce vitæ illi ex animi sententia fluant: tantoque etiam miseriorem, quanto magis

à se-

à secundo rerum fluxu delusus fuerit, sibiq; aliud quodpiam bonū vero bono præstabilius esse persuaserit: malum utique malæ opinionis fructum decerpens, ut vel tenebris mulctetur, vel ignem videat, quem ut lucem non cognovit. Hæc paucis tum nostræ tempestatis tum veteris memoriæ hominibus curæ ac studio fuerunt, (pauci enim Dei sunt, quamvis omnes ipsius figmenta simus,) legislatoribus, præfectis militaribus, sacerdotibus, Prophetis, Evangelistis, Apostolis, Pastoribus, Doctoribus, omnique spirituali agmini & complemento: inter omnes autem eos huic quoque, in cuius laudem hæc à nobis habetur oratio. Quos tandem hos dico? Enoch illum, Noë, Abraham, Isaac, Iacob, duodecim Patriarchas, Mosen, Aaronem, Iosue, Iudices, Samuelem, Davidem, Salomonem, aliquantisper Heliam, Heliseum, Prophetas, qui vel captivitatem antecesserunt, vel post eam floruerunt, atque hæc ordine quidem postrema, cæterùm veritate prima, quæ circa Christi incarnationem seu humanitatis assumptionem contigerunt lucernam illam luci præeuntem, vocem sermoni, mediatorem mediatori, mediatorem inquam veteris & novi Testamenti, Ioannem illum egregium, Christi di-

ſti diſcipulos, eos denique, qui poſt Chriſti tempora, vel populo præfuerunt, vel orationis facultate & doctrina claruerunt, vel ſignis ac miraculis nobilitati ſunt, vel martyrio perſuncti ſunt. Ex his Athanaſius alios æquavit, ab aliis parvo intervallo ſuperatus eſt, nonnullos etiam, niſi hoc à me audacius dictum videatur, anteceſſit: atque aliorū dicendi facultatem, aliorum actionem, aliorum clementiam, aliorum zelum, dimicationes quorundam, plura virtutum ornamenta, nonnullorum etiam omnia imitando conſecutus, atque aliud ab alio mutuatus, quemadmodum qui formas excellentiſſimè pingunt, atque in unam ſuiipſius animam complexus, unum ex omnibus virtutis ſimulacrum numeris omnibus abſolutum erudiit: ſic videlicet ſe comparans, ut & eruditos ac diſertos actione, & agendi vi præditos eruditione atque eloquentia vinceret, aut ſi mavis & doctrinæ gloria florentes doctrina & rebus agendis aptiſsimos actione ſuperaret: atque ut & iis, qui mediocrem in utroque genere laudem habebant, eo ſuperior eſſet, quod in altero horum ſummè excelleret, & rurſus iis, qui altero duntaxat genere ſummoperè eminebant, hoc eo nomine præſtaret, quòd utraque virtute ornaretur.

Quod

Quòd si his qui ipsum ætate præcesserunt, virtutis exemplum ipsi præbuisse, magnum atque honorificum est: non minus certè huic nostro præclarum censeri debet, quòd posteris exemplum ipse fuerit, &c.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0036-1

Jm 2381

ULB Halle 3
005 131 618

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0037-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0038-2

# ATHANASII DIALOGORVM SECVNDVS

## De Trinitate.

*PRO ILLVSTRI Gymnaſio Serbeſtano.*

SERBESTÆ,
Excudebat Iohannes Schleer,
Anno M. DC. IIII.

f. 6
5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-602907-p0039-1